p. 458 b. ὅσον δόξα ψευδής.

6 τοῦτο καὶ ἐν τῷ Θεαιτήτῳ λέγει· οὐδὲν γὰρ χεῖρον ψευδοῦς δόξης· καὶ εἰ μὲν περὶ ὀνόματα ἦν μόνον ἡ δόξα ἡ ψευδής, οὐδὲν μέγα λυμαίνεται, εἰ δὲ περὶ μέγιστα πράγματα, κακῶν παμπόλλων αἰτία γίνεται.

p. 458 b. ἴσως μέντοι χρὴ ἐννοεῖν καὶ τὸ τῶν παρόντων.

7 φιλαύτου γάρ ἐστι τὸ ἑαυτοῦ μόνον φροντίζειν καὶ μὴ καὶ τῶν παρόντων· δεῖ γὰρ σπεύδειν πάντας ὠφελεῖσθαι.

p. 458 b. ἀποτενοῦμεν.

8 μὴ φησὶν ἐκτείνωμεν τὸν λόγον καὶ εὑρεθῶσιν οἱ παρόντες μηδὲν ὠφελούμενοι.

p. 458 c. τοῦ μὲν θορύβου.

9 φησὶν ὁ Χαιρεφῶν, ὦ Γοργία τε καὶ Σώκρατες, ὡς οἶμαι ἀκούετε τοῦ θορύβου, πῶς θέλουσι πάντες ὑμῶν ἀκοῦσαι.

p. 458 c. ἐμοὶ γοῦν καὶ αὐτῷ μὴ γένοιτο τοιαύτη ἀσχολία.

10 ὡς φιλόσοφος ὁ Χαιρεφῶν ᾔδει καὶ ἤθελεν ἀκροάσασθαι τῶν τοιούτων λόγων.

p. 458 d. οὐκ οἶδα εἰ πώποτε ἥσθην.

11 οὐκ εἶπεν ὁ Καλλικλῆς ὅτι ὠφελήθην ἀλλ' ἥσθην σημαίνων αὐτοῦ τὸ φιλήδονον.

p. 458 d. αἰσχρὸν δὴ τὸ λοιπὸν ὦ Σώκρατες.

12 λοιπὸν ὁ Γοργίας φησίν, ὅτι εἰ θέλουσι πάντες ἀκροάσασθαι, αἰσχρὸν τὸ μὴ διαλεχθῆναι· ὑπεσχόμην γὰρ πρὸς πάντας ἀποκρίνεσθαι· θελόντων οὖν αὐτῶν ἀνάγκη, ὃ ὑπ-

---

2 Plat. Theaet. 187 b

---

2 οὐδέν] -ν supr. lin. add. M^c 6 χρή] M χρῆν Plat. 16 γοῦν] M δ' οὖν Plat. τοιαύτη] M τοσαύτη Plat. 20 πώποτε] Plat. πότε M